ὡς μὴ μόνον τοῦ ζῆν ἀλλὰ καὶ τοῦ ἀποθνήσκειν τὴν τροφὴν
ἐφόδιον οὖσαν. ἐκ ταύτης γὰρ αἱ νόσοι συντρέφονται τοῖς
σώμασιν οὐκ ἔλαττον ἐνδείας κακὸν ἔχουσι τὴν πλήρωσιν·
πολλάκις δὲ καὶ μεῖζόν ἐστιν ἔργον τοῦ πορίσαι τροφὴν καὶ
συναγαγεῖν τὸ καταναλῶσαι καὶ διαφορῆσαι πάλιν εἰς τὸ σῶμα
παραγενομένην. ἀλλ' ὥσπερ εἰ διαποροῖεν αἱ Δαναΐδες τίνα
βίον βιώσονται καὶ τί πράξουσιν ἀπαλλαγεῖσαι τῆς περὶ τὸν
πίθον λατρείας καὶ πληρώσεως, οὕτω διαποροῦμεν ἡμεῖς, εἰ
γένοιτο παύσασθαι φοροῦντας εἰς τὴν σάρκα τὴν ἄτρυτον ἐκ C
γῆς ἅμα καὶ θαλάττης τοσαῦτα, τί πράξομεν, ἀπειρίᾳ τῶν κα-
λῶν τὸν ἐπὶ τοῖς ἀναγκαίοις στέργοντες βίον. ὥσπερ οὖν οἱ
δουλεύσαντες, ὅταν ἐλευθερωθῶσιν, ἃ πάλαι τοῖς δεσπόταις
ἔπραττον ὑπηρετοῦντες, ταῦτα πράττουσιν αὑτοῖς καὶ δι'
αὑτούς, οὕτως ἡ ψυχὴ νῦν μὲν τρέφει τὸ σῶμα πολλοῖς πό-
νοις καὶ ἀσχολίαις, εἰ δ' ἀπαλλαγείη τῆς λατρείας, αὑτὴν δή-
πουθεν ἐλευθέραν γενομένην θρέψει καὶ βιώσεται, εἰς αὑτὴν
ὁρῶσα καὶ τὴν ἀλήθειαν, οὐδενὸς περισπῶντος οὐδ' ἀπάγον-
τος.' τὰ μὲν οὖν ῥηθέντα περὶ τροφῆς, ὦ Νίκαρχε, ταῦτ' ἦν.

**17.** Ἔτι δὲ τοῦ Σόλωνος λέγοντος εἰσῆλθε Γόργος ὁ Περιάν- D
δρου ἀδελφός· ἐτύγχανε γὰρ εἰς Ταίναρον ἀπεσταλμένος ἔκ
τινων χρησμῶν, τῷ Ποσειδῶνι θυσίαν καὶ θεωρίαν ἀπάγων.
ἀσπασαμένων δ' αὐτὸν ἡμῶν καὶ τοῦ Περιάνδρου προσαγαγο-
μένου καὶ φιλήσαντος καθίσας παρ' αὐτὸν ἐπὶ τῆς κλίνης
ἀπήγγειλεν ἅττα δὴ πρὸς μόνον ἐκεῖνον, ὁ δ' ἠκροᾶτο, πολλὰ
πάσχοντι πρὸς τὸν λόγον ὅμοιος ὤν. τὰ μὲν γὰρ ἀχθόμενος
τὰ δ' ἀγανακτῶν ἐφαίνετο, πολλάκις δ' ἀπιστῶν, εἶτα θαυμά-
ζων· τέλος δὲ γελάσας πρὸς ἡμᾶς 'βούλομαι μέν' ἔφη 'πρὸς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/335 UNIVERSITÄT LEIPZIG